# 0345-0407 - Iohannes Chrysostomus - In illud Ignem veni mittere in terram

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 323 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In illud: Ignem veni mittere in terramὰ

[00002] Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν·

[00003] καὶ, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν.

62.739

[00004] Αἱ τῶν νηπίων φιλότεκνοι μητέρες, μέχρι δ' ἂν πρὸς μείζονα ἡλικίαν καὶ δυνατωτέραν οἱ νήπιοι αὐξηθῶσι, τὰς γαλακτοτρόφους πηγὰς τῶν μαζῶν προΐσχουσαι τοῖς φιλτάτοις, τὴν ἀκάματον τροφὴν τοῦ γάλακτος ὑφέλκειν αὐτοὺς κολακεύουσιν·

[00005] ἐπειδὰν δὲ πρὸς μείζονα ἡλικίαν καὶ αἴσθησιν ἔλθωσιν, ὡς καὶ ὀδοῦσι λοιπὸν τὰ τρυφερὰ τῶν βρωμάτων λεαίνειν, πρότερον αἱ μητέρες τὸ σκληρὸν τοῦ ἄρτου συντρίψασαι, ἁπαλὴν καὶ τρυφε ρὰν, δίκην μυελοῦ, τὴν τροφὴν ἑτοιμάσασαι τῷ στό ματι αὐτῶν ἐνοικίζουσι.

[00006] Τοιοῦτοί εἰσιν οἱ τῆς Ἐκκλη σίας διδάσκαλοι.

[00007] Τοῖς γὰρ ἐπὶ τὴν ἕξιν τῆς φρονήσεως νηπιάζουσιν, οὐ δυσνόητα αὐτοῖς καὶ δυσδιάκριτα νοή ματα προσβάλλουσιν, ἀλλὰ, τρόπον μητέρων, τὴν θηλὴν τῆς διανοίας αὐτοῖς προσχαλάσαντες, τὸ ἄδολον τοῦ λό γου γάλα πραεῖ νεύματι ὑφέλκειν αὐτοὺς παρακαλοῦ σιν.

[00008] Εἶτα, ὁπόταν πρὸς μείζονα νοημάτων κατάληψιν οἱ νήπιοι αὐξηθῶσι τῇ φρονήσει, μειζόνων αὐτοῖς μυστη ρίων ἀποκαλύπτειν εἰώθασι νοήματα.

[00009] Τοῦτο καὶ Παῦ λος ἐποίει·

[00010] νηπίοις γὰρ τυγχάνουσι γράφων ἔλεγε·

[00011] Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα.

[00012] Τὸν αὐτὸν τρόπον ὁ Κύριος ἡμῶν εἰσέτι καὶ νῦν ποιεῖ·

[00013] πρὸς γὰρ τὸ μέτρον τῆς ἕξεως τῶν ἀκουόντων τὴν τῶν εὐαγγελικῶν νοημά των γραφὴν συσταθμησάμενος, ἐν ταῖς προλα βούσαις ἡμέραις, καθάπερ νηπίοις, ἁπαλὴν καὶ εὔλυτον τὴν τροφὴν τοῦ λόγου ἡμῖν παρέσχετο·

[00014] νυνὶ δὲ τὸν νοῦν τῆς φρονήσεως ἡμῶν αὐξηθέντα σκοπήσας, μειζόνων ἡμᾶς συγχωρεῖ ἀπολαύειν διδαγμάτων.

[00015] Τί γάρ φησι;

[00016] Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν·

[00017] καὶ, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν.

[00018] Ἀλλ' οἱ μὲν νήπιοι ταῖς φρεσὶν οἴονται ἐληλυθέναι τὸν Κύριον ἐπὶ τὸ πυρὶ τὰ πάντα ἀναλῶσαι, καὶ μαχαίρα τοὺς πάντας κατα σφάξαι.

[00019] Ἀλλὰ δεῦρο, καὶ ἡμεῖς τὰ αὐτὰ τοῖς νηπίοις νοήσαντες, τὰ τοῦ Κυρίου ῥήματα πρὸς τὸν Κύριον διαλεχθῶμεν, ἵνα τοῦ Κυρίου ῥήματα τοῖς νηπίοις δια πορθμεύσωμεν.

[00020] Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν.

[00021] Πῦρ ἦλθες βαλεῖν ἐπὶ τὴν γῆν, Κύριε, καὶ οὐκ ἦλθες βα λεῖν εἰρήνην, ἀλλὰ μάχαιραν;

[00022] Ἁμαρτία ἡμῶν κατ ηγωνίσατο, θάνατος ἡμῶν ἐκυρίευσε, γέεννα πυρὸς ἡμῖν ἠπείληται, τῶν ἐναγῶν δαιμόνων στρατόπεδον κατηγω [62.740] νίσατο ἡμῶν, καί σε ἀρωγὸν παρὰ τῶν προφητῶν ἀκούοντες ἐξεδεχόμεθα·

[00023] καὶ ἐλθὼν λέγεις, Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν·

[00024] καὶ, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν;

[00025] Τρόπαιον παρ' ἡμῖν οὐχ ὑπῆρχε πί στεως, τῇ τοῦ διαβόλου παρατάξει οὐκ ἰσχύομεν·

[00026] ὅπλον γὰρ ἡμῖν οὐχ ὑπῆρχε πίστεως·

[00027] τὸν θώρακα τῆς δικαιοσύνης ἡμῶν ἔτι ὄντα τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ ἐκδύσας ὁ διάβολος ἐγύμνωσε.

[00028] Διὸ ἕκαστος ἡμῶν γυ μνὸς βοηθείας ὑπάρχων πρὸς σὲ βοᾷ λέγων·

[00029] Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολε μοῦντάς με·

[00030] ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνά στηθι εἰς τὴν βοήθειάν μου·

[00031] ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με·

[00032] εἰπὸν τῇ ψυχῇ μου, σωτηρία σου ἐγώ εἰμι·

[00033] καὶ ἐλ θὼν πρὸς βοήθειαν ἡμῶν λέγεις, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν;

[00034] Καὶ ποῦ ἡ τῶν ἁγίων ἱκεσία ἡ περὶ εἰρήνης πρὸς σὲ γεγενημένη, τὸ, Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν.

[00035] Πάντα γὰρ ἀπέδωκας ἡμῖν.

[00036] Εἰρήνην ἱκετεύσαμεν, γαλήνης ἐδεήθημεν, πόλεμον οὐκ ἠθελήσαμεν, μάχαιραν ἀπειπάμεθα·

[00037] καὶ ἐλθὼν λέγεις, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν;

[00038] Δεινὸν αὐτοῦ τὸ καθ' ἡμῶν στρατόπεδον τῶν ἐναγῶν δαιμόνων ἐξώπλισε·

[00039] πάντας ἡμᾶς τῇ διστόμῳ ῥομφαίᾳ τῆς ἁμαρ τίας κατασφάξας, εἰς ᾅδην κατηκόντισε.

[00040] Διὰ τοῦτο οἶκτον παρὰ σοῦ αἰτοῦμεν·

[00041] ὁ πᾶς ἁγίων χορὸς πρὸς σὲ ἀνεφθέγγετο λέγων·

[00042] Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσὴφ, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι, ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

[00043] Λέγεις, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν;

[00044] καὶ ποῦ ἡ σὴ ἐπαγγελία ἡ λέγουσα·

[00045] Ἰδοὺ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν;

[00046] ἢ ποῦ ἡ πρόῤῥησις τῶν ἁγίων Πατέρων ἡ λέγουσα, Ἰδοὺ ἐξέρχεται Κύριος, καὶ συντρίψει πόλεμον;

[00047] Συντριβέντος δὲ τοῦ πολέ μου, εἰρήνην καὶ βοήθειαν ἐξεδεχόμεθα·

[00048] καὶ ἐλθὼν λέγεις, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν;

[00049] Προφήτας προαπέστειλας, πατριάρχας προέπεμψας, ὅπλοις δικαιοσύνης αὐτοὺς ἐθώρηξας πρὸς τὸ ἀντιστῆ [62.741] ναι τῇ μάχῃ τοῦ διαβόλου, καὶ συντρίψαντας τὸν πόλεμον εἰρήνην τῷ κόσμῳ βραβεῦσαι, ὡς εἷς αὐτῶν εὐχαριστῶν ἔλεγεν·

[00050] Εὐλογητὸς Κύριος ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον·

[00051] καὶ οὗτοι ἡττηθέντες νῶτα δεδώκασι, πρὸς σὲ βοῶν τες, σὲ καλοῦντες βοηθὸν, λέγοντες·

[00052] Κύριε, κλῖνον οὐρανοὺς, καὶ κατάβηθι·

[00053] καὶ κλίνας οὐρανοὺς, καὶ καταβὰς ἐπὶ τὸ σῶσαι τὸ γένος τῶν ἀνθρώπων ἐν εἰρήνῃ, λέγεις, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μά χαιραν;

[00054] Τί δὲ μακαρίζεις τοὺς εἰρηνοποιοὺς, ὅτι υἱοὶ Θεοῦ κληθήσονται;

[00055] Τί οὖν ὁ διδάσκων ἄλλους εἰρηνο ποιεῖν, τί λέγεις περὶ σεαυτοῦ, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν;

[00056] Διὰ τὰ ἁμαρτήματα ἡμῶν ἐχθρὸς ἡμῶν γέγονεν ὁ Κύριος·

[00057] μεσίτου ἐδεόμεθα τοῦ λύοντος μὲν τὴν μεταξὺ ἡμῶν ἔχθραν, εἰρήνην δὲ γλυ κεῖαν βραβεύοντος.

[00058] Καὶ ὁ πατὴρ ἡμῶν Ἰὼβ περὶ τοῦ μεσίτου ηὔχετο λέγων·

[00059] Εἴθε ἦν ὁ μεσίτης ἡμῶν καὶ ἐλέγχων·

[00060] καὶ ἐλθὼν μεσιτεῦσαι καὶ λῦσαι τὴν ἔχθραν, τὰ ἐναντία λέγεις, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν;

[00061] Καὶ ἐν τίνι λοιπὸν τὴν ἐλπίδα τῆς εἰρήνης ἐκδεξόμεθα;

[00062] Ἀλλὰ ναὶ, πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, τὴν ὑφ' ὑμετέροις ποσὶ πατουμένην.

[00063] Ἐπει δήπερ ὁ διάβολος ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις ἀκάνθας καὶ τριβόλους ἐνέσπειρεν ἁμαρτιῶν, πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, τὴν τῶν ἀκανθῶν ἀνάλωσιν.

[00064] Διὰ τοῦτο πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ θέλω, εἰ ἤδη ἀνήφθη, καθαρίσαι τὴν ἐμὴν γῆν.

[00065] Δεῖ με τὰ τοῦ διαβόλου πικροφόρα καὶ βλαβοποιὰ βλαστήματα πυρὶ ἐξανα λῶσαι, ἵνα καθαρᾷ τῇ ψυχῇ τὸν οὐράνιον σπόρον ἐνράνω.

[00066] Διὰ τοῦτο πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν.

[00067] Πλάσας ἐξ ἀρχῆς τὸν ἄνθρωπον ἐκ γῆς, σπινθῆρα θεῖον πυρὸς ἐν μέσῃ αὐτοῦ τῇ καρδίᾳ ᾤκισα, πρὸς τὸ διὰ πυρὸς ἔχε σθαι αὐτὸν τῆς πρὸς Θεὸν ἀγάπης.

[00068] Ἐπεὶ οὖν τοῦτον τὸν θεῖον σπινθῆρα τοῦ πυρὸς καὶ ταύτην τὴν θέρμην ἐκβαλεῖν ἦν ἀδύνατον, ἵνα καλλιφερὲς ἔχωσι τὴν τοῦ ἁγίου Πνεύματος ἔξαψιν (κρυμῷ γὰρ ἀσεβείας τὰς τῶν ἀνθρώπων ψυχὰς ἐνέκρωσεν ὁ διάβολος), δεῖ με πῦρ βαλεῖν ἐπὶ τὴν γῆν·

[00069] ἵνα ἐκλύσας καὶ χαυνώσας τὸν ἐκ τοῦ διαβόλου ἐπιγεγενημένον ταῖς ψυχαῖς χειμῶνα τῆς ἀπιστίας, εὔδιον καὶ γαληνιῶσαν τὴν φρένα καταστήσας, ἀναθάλλειν καὶ χλοηφορεῖν αὐτὴν ποιήσω.

[00070] Εἰσέρχεται οὖν εἰς τὴν μάνδραν αὐτοῦ, καλύπτων τὸν ποιμένα ἐν τῷ ἀρνίῳ τοῦ σώματος, οὐ βακτηρίαν ἐπιφερόμενος, οὐ ῥάβδον ἀπειλοῦσαν τὴν προτέραν πλά νην, ἵνα μὴ δειλιᾶσαν καὶ πτοηθὲν τὸ πρόβατον πάλιν ἀποδράσῃ τοῦ ἰδίου ποιμένος.

[00071] Ἀλλ' εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου, οὐχ ὡς Θεὸς, οὐχ ὡς βασιλεὺς, οὐχ ὡς ἥλιος δικαιοσύνης, ἀλλ' ὡς ἄνθρωπος πρὸς ἄν θρωπον, ὡς ἀρνίον πρὸς ἀρνίον, συνδιαιτᾶται αὐτῷ, συννέμεται, συγχλοάζεται, εἰσέρχεται, συναναπίπτει τῷ ἤδη πεπτωκότι ὑπὸ τὴν ἁμαρτίαν, ἵνα ἐν τῷ συν αναπεσεῖν, τὸν ἤδη πεπτωκότα ἑαυτῷ συνεγείρῃ.

[00072] Καὶ εἰσελθὼν οὐκ ἐβαπτίσθη κατὰ τὸ ἦθος τῶν Φαρισαίων.

[00073] Τοῦτο δὲ ἐποίει κατὰ δύο τρόπους, ἵνα δώσῃ τῷ προ βάτῳ ἀφορμὴν λαλεῖν πρὸς τὸν ποιμένα, ἔτι δὲ καὶ δόγμα Ἰουδαϊκὸν καταλῦσαι, καὶ βεβαιῶσαι πνευμα τικόν·

[00074] Εἶδε γὰρ, φησὶν, ὁ Φαρισαῖος, καὶ ἐθαύμα σεν, ὅτι οὐ πρότερον ἐβαπτίσθη.

[00075] Ἐθαύμασεν, οὐκ ἐπαινῶν τὸν διδάσκαλον, ἀλλ' ἀπορῶν τὸ γινόμενον·

[00076] οὐκ ἐπαινῶν, ἀλλὰ κρίνων.

[00077] Καὶ ἦν ἰδεῖν, ἀγαπητοὶ, τὸν ζωοπλάστην ὑπὸ τοῦ πλάσματος κρινόμενον, καὶ τὸν κεραμέα ὑπὸ τοῦ πηλοῦ διορθούμενον.

[00078] Τοῦτο δὲ ἔφασκεν ὁ Φαρισαῖος, μὴ θεωρῶν τοῖς κρυπτοῖς ὀφθαλμοῖς τῆς καρδίας τὸν ἔνδοθεν τῶν ἀγγέλων ταξίαρχον καὶ τῶν [62.742] Σεραφὶμ καὶ Χερουβίμ.

[00079] Εἰ γὰρ ἐθεάσατο τοῦτον, προσ έπεσεν ἂν αὐτοῦ τοῖς γόνασι, καὶ τοῖς δάκρυσιν αὐτοῦ ἔπλυνε τοὺς πόδας, καὶ ἔλεγεν·

[00080] Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ·

[00081] ἔλεγε γὰρ ἄν·

[00082] Σὺ εἶ ὁ ἐξ οὐκ ὄντων τὰ πάντα εἰς τὸ εἶναι παραγαγών·

[00083] τῷ σῷ λόγῳ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματός σου πᾶσα ἡ δύναμις αὐτῶν·

[00084] συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης·

[00085] σὺ τιθεῖς ἐν τοῖς θησαυροῖς ἀβύσσους·

[00086] ἀπὸ σοῦ φοβεῖται πᾶσα ἡ γῆ·

[00087] ἀπὸ σοῦ σαλεύεται ἡ σύμπασα οἰκουμένη.

[00088] Ἀλλ' οὐδὲν τούτων οὔτε ἐννοήσας, οὔτε εἰρηκὼς, ἔκρινε τὸν διδάσκαλον.

[00089] Ὁ δὲ Κύριος πρόφασιν δεδωκὼς, ὥσπερ κἀκείνῃ τῇ Σαμαρείτιδι ἐν τοῦ αἰτῆσαι αὐτὸν παρ' αὐτῆς ὕδωρ, ἔδωκεν αὐτῇ καιρὸν τοῦ αἰτῆσαι παρ' αὐτοῦ τὸ αἰώνιον ὕδωρ·

[00090] ἄρχεται οὖν ὁ Κύριος ἠρέμα ἐπιστρέφειν τὸ πρόβατον, καὶ ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν αὐτὸ χειραγωγεῖν.

[00091] Ἄρτι γὰρ, ὑμεῖς Φαρισαῖοι, τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος πλύνετε τὸ δὲ ἔσωθεν γέμει ἁρπαγῆς καὶ δόλου.

[00092] Τουτέστιν, Ὑμεῖς νῦν τὸ σῶμα καλλωπίζετε, τὰς δὲ ψυχὰς κακίζετε.

[00093] Πῶς δὲ καὶ τέρψει χρυσοῦν ἐὰν ᾖ τὸ ποτήριον, ὅταν ἔνδοθεν ἔχῃ θανατηφόρον πότον;

[00094] Οὐχὶ τοιαῦται αἱ πόρναι;

[00095] τὰς ὄψεις ἑαυτῶν τοῖς χρώμασιν ἀνθίζουσαι, τὰς ψυχὰς ἀφανίζουσιν.

[00096] Ἠ γὰρ οὐχὶ τὰς ὄψεις ἑαυτῶν τῷ φοίνικι ἐρυθραίνουσαι, εἴδωλον τῆς μελλούσης αὐτὰς διαδέχεσθαι φλογὸς οἰκείοις δακτύλοις ἐργάζονται, δέον αὐτὰς τῷ αἵματι Ἰησοῦ τὰς καρδίας ῥαντίζειν, καὶ τῷ πνεύματι τὰς ψυχὰς ἐκλευκαίνειν, ἵνα τὸ ἄνθος τῆς ψυχῆς ἀστράπτον, καθάπερ ῥόδον ἐν κρίνῳ μεμιγμένον ὑπάρχῃ;

[00097] Νῦν δὲ τὰς ὄψεις αὐτῶν ἐκσπογγίζουσιν, ἵνα τὰς τῶν νέων καρδίας εἰς μανίαν ἑλκύσωσι.

[00098] Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος πλύνετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας.

[00099] Ὁ Ἰωάννης ἔλεγε·

[00100] Διὰ τί τὸ μὲν σῶμα ὕδατι λούετε, τὰ δὲ πταίσματα τῷ πνεύματι οὐ λούετε;

[00101] Τολμῶ γὰρ εἰπεῖν, ἀγαπητὲ, οὐδὲν ὠφεληθήσεται ἄνθρωπος, κἂν τὸ σῶμα πλύνῃ καὶ τὸ πνεῦμα, ἐὰν μὴ ἔχῃ συνεργὸν καὶ σύνδρομον τὴν ἐλεημοσύνην.

[00102] Ὥσπερ δὲ ποτήριον ἔξωθεν καὶ ἔνδοθεν πλυθὲν, μὴ ἔχον δὲ ποτὸν οὐκ ἂν ἰάσηται τοῦ διψῶντος τὴν ἐπιθυμίαν, ὁμοίως δὲ καὶ πινάκιον πλυθὲν ἔσωθεν καὶ ἔξωθεν οὐ θρέψει τὸν πεινῶντα, ἐὰν μὴ ἔχῃ ἔνδοθεν βρώματα·

[00103] οὕτω καὶ ἄνθρωπος, κἂν ἔσωθεν ᾖ πεπλυμμένος καὶ ἔξωθεν, οὐ θρέψει τὸν Κύριον, ἐὰν μὴ θρέψῃ τὸν σύνδουλον.

[00104] Διὸ ἐπιφέρει ὁ Κύριος καὶ λέγει·

[00105] Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰδοὺ τὰ πάντα καθαρὰ ὑμῖν ἔσται.

[00106] Πλὴν τὰ ἐνόντα, λέγει.

[00107] Οὐ γὰρ τοσοῦτον τῇ τῶν πολυχρύσων προσκομιδῇ τέρπεται, ὅσον τῇ τῶν ἀδόλων ἀνυποκρίτῳ προσφορᾷ.

[00108] Μὴ βοήσῃς οὖν ὁ πένης, ὅτι οὐκ ἔχεις χρυσοῦ καὶ ἀργύρου τόσας·

[00109] ῥῖψον εἰς τὸ γαζοφυλάκιον ὃ ἔχεις·

[00110] καὶ δύο λεπτὰ δικαιοῖ·

[00111] μνήσθητι τῆς χήρας ἐκείνης, ὅτι ἐδικαιώθη ὑπὲρ τοὺς πολυχρύσους.

[00112] Ὁ Θεὸς οὐ χρήματα οἶδε σταθμίζειν, ἀλλὰ συνείδησιν δοκιμάζει.

[00113] Ἐλεημοσύνη σπίλους μοιχῶν ἀποσμήχει, καὶ μισθοὺς ἀγαθοὺς θησαυρίζει·

[00114] ἐλεημοσύνη τὰς ψυχὰς ἐκλευκαίνει, καὶ τὰς τρυφερὰς ἐξυφαίνει.

[00115] Ὦ ἐλεημοσύνη ψυχῶν ζωτικὴ, χορηγία ψυχῆς, καλὴ στρατηγία.

[00116] Ῥίψατε χρυσὸν, καὶ λάβετε Χριστόν·

[00117] δότε ἀργύριον, καὶ λάβετε τὸ Πνεῦμα τὸ ἅγιον·

[00118] σκορπίσατε χαλκὸν, καὶ συνεξελεύσεται αὐτῷ ὁ ἰὸς τῆς ἁμαρτίας·

[00119] δροσίσατε τὸν ἔλεον, καὶ σβέσατε τὴν κάμινον·

[00120] καὶ δότε ἱμάτια, ἵνα λάβητε ἰάματα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00121] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In illud Ignem veni mittere in terram**

**Litterarum Omnium Conspectus: 122 Litterae, quae repetitae sunt in 8,336 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 634 | Α | 0913 | 1 |
| β | 0946 | 75 | Β | 0914 | 0 |
| γ | 0947 | 126 | Γ | 0915 | 1 |

| | | | | | |
|---|---|---|---|---|---|
| δ | 0948 | 147 | Δ | 0916 | 0 |
| ε | 0949 | 418 | Ε | 0917 | 7 |
| ζ | 0950 | 24 | Ζ | 0918 | 0 |
| η | 0951 | 132 | Η | 0919 | 0 |
| θ | 0952 | 138 | Θ | 0920 | 5 |
| ι | 0953 | 347 | Ι | 0921 | 2 |
| κ | 0954 | 243 | Κ | 0922 | 22 |
| λ | 0955 | 274 | Λ | 0923 | 1 |
| μ | 0956 | 224 | Μ | 0924 | 1 |
| ν | 0957 | 780 | Ν | 0925 | 2 |
| ξ | 0958 | 32 | Ξ | 0926 | 0 |
| ο | 0959 | 516 | Ο | 0927 | 12 |
| π | 0960 | 263 | Π | 0928 | 15 |
| ρ | 0961 | 342 | Ρ | 0929 | 0 |
| ς | 0962 | 299 | • | 0930 | 0 |
| σ | 0963 | 272 | Σ | 0931 | 4 |
| τ | 0964 | 559 | Τ | 0932 | 12 |
| υ | 0965 | 138 | Υ | 0933 | 0 |
| φ | 0966 | 51 | Φ | 0934 | 6 |
| χ | 0967 | 91 | Χ | 0935 | 4 |
| ψ | 0968 | 27 | Ψ | 0936 | 0 |
| ω | 0969 | 97 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 2 | | | 0 |
| ῥ | 8165 | 10 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 101 | έ | 8051 | 84 | ή | 8053 | 58 | ί | 8055 | 124 | ό | 8057 | 73 | ύ | 8059 | 71 | ώ | 8061 | 19 |
| ὰ | 8048 | 86 | ὲ | 8050 | 35 | ὴ | 80852 | 59 | ὶ | 8054 | 117 | ὸ | 8056 | 115 | ὺ | 8058 | 24 | ὼ | 8060 | 9 |
| ᾶ | 8118 | 9 | | | 0 | ῆ | 8134 | 42 | ῖ | 8150 | 78 | | | 0 | ῦ | 8166 | 91 | ῶ | 8182 | 83 |
| ἀ | 7936 | 68 | ἐ | 7952 | 108 | ἠ | 7968 | 3 | ἰ | 7984 | 62 | ὀ | 8000 | 2 | ὐ | 8016 | 77 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 14 | ἑ | 7953 | 5 | ἡ | 7969 | 40 | ἱ | 7985 | 13 | ὁ | 8001 | 23 | ὑ | 8017 | 17 | ὡ | 8033 | 11 |
| ἂ | 7938 | 5 | ἒ | 7954 | 0 | ἢ | 7970 | 1 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἄ | 7940 | 11 | ἔ | 7956 | 39 | ἤ | 7972 | 3 | ἴ | 7988 | 4 | ὄ | 8004 | 5 | ὔ | 8020 | 5 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 3 | ἥ | 7973 | 1 | ἵ | 7989 | 11 | ὅ | 8005 | 9 | ὕ | 8021 | 5 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 24 | ἶ | 7990 | 7 | | | 0 | ὖ | 8022 | 5 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 1 |
| ᾅ | 8069 | 1 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 2 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 2 | | | 0 | ῃ | 8131 | 14 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 9 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 14 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 22 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In illud Ignem veni mittere in terram**
**Verborum Omnium Conspectus: 821Verba, quae repetita sunt in 3,336,365 occasionibus**

---

**ἀβύσσους** [00085]
**ἀγαθοὺς** [00113]
**ἀγάπης** [00067]
**ἀγαπητὲ** [00101]
**ἀγαπητοὶ** [00077]
**ἀγγέλων** [00078]
**ἅγιον** [00117]
**ἁγίου** [00068]
**ἁγίων** [00034] [00041] [00046]
**Ἀδὰμ** [00027]
**ᾅδην** [00039]
**ἀδικοῦντάς** [00029]
**ἄδολον** [00007]
**ἀδόλων** [00107]
**ἀδύνατον** [00068]
**Αἱ** [00004]
**αἱ** [00005] [00094]
**αἵματι** [00096]
**αἴσθησιν** [00005]
**αἰτῆσαι** [00089] [00089]
**αἰτοῦμεν** [00040]
**αἰῶνας** [00120]
**αἰώνιον** [00089]
**αἰώνων** [00120]
**ἀκάματον** [00004]
**ἀκάνθας** [00063]
**ἀκανθῶν** [00063]
**ἀκούοντες** [00022]
**ἀκουόντων** [00013]
**ἀλήθειαν** [00090]
**ἀλλ** [00071] [00075]
**Ἀλλ** [00018] [00071] [00088]
**ἀλλὰ** [00003] [00007] [00017] [00021] [00024] [00033] [00037] [00043] [00048] [00053] [00055] [00060] [00076] [00112]
**Ἀλλὰ** [00019] [00062]
**ἄλλους** [00055]
**ἁμαϱ** [00039]
**ἁμαϱτήματα** [00056]
**Ἁμαϱτία** [00022]
**ἁμαϱτίαν** [00071]
**ἁμαϱτίας** [00118]
**ἁμαϱτιῶν** [00063]

**ἁμαρτωλῷ** [00080]
**Ἀμήν** [00121]
**ἂν** [00004] [00079] [00102]
**ἄν** [00071] [00081]
**ἀνά** [00030]
**ἀναθάλλειν** [00069]
**ἀναλῶσαι** [00018]
**ἀνάλωσιν** [00063]
**αναπεσεῖν** [00071]
**ἀνεφθέγγετο** [00041]
**ἀνήφθη** [00064]
**ἀνθίζουσαι** [00095]
**ἄνθος** [00096]
**ἄνθρωπον** [00067]
**ἄνθρωπος** [00071] [00101] [00103]
**ἀνθρώπων** [00053] [00063] [00068]
**ἀντιστῆ** [00049]
**ἀνυποκρίτῳ** [00107]
**ἁπαλὴν** [00005] [00013]
**ἀπέδωκας** [00035]
**ἀπειλοῦσαν** [00070]
**ἀπειπάμεθα** [00036]
**ἀπιστίας** [00069]
**ἀποδράσῃ** [00070]
**ἀποκαλύπτειν** [00008]
**ἀπολαύειν** [00014]
**ἀπορῶν** [00075]
**ἀποσμήχει** [00113]
**ἀργύριον** [00117]
**ἀργύρου** [00108]
**ἀρνίον** [00071] [00071]
**ἀρνίῳ** [00070]
**ἁρπαγῆς** [00091] [00098]
**Ἄρτι** [00091]
**ἄρτου** [00005]
**ἄρχεται** [00090]
**ἀρχῆς** [00067]
**ἀρωγὸν** [00022]
**ἀσεβείας** [00068]
**ἀσκὸν** [00084]
**ἀστράπτον** [00096]
**αὐξηθέντα** [00014]
**αὐξηθῶσι** [00004] [00008]
**αὐτὰ** [00019]
**αὐτὰς** [00096] [00096]
**αὐτῇ** [00089]
**αὐτὴν** [00069]
**αὐτῆς** [00089]
**αὐτὸ** [00090]
**αὐτοῖς** [00007] [00007] [00008]
**αὐτὸν** [00012] [00067] [00089]
**αὐτοῦ** [00038] [00067] [00070] [00079] [00079] [00089]
**αὐτοὺς** [00004] [00007] [00045] [00049]
**αὐτῷ** [00071] [00118]
**αὐτῶν** [00005] [00049] [00083] [00097]
**ἀφανίζουσιν** [00095]
**ἀφορμὴν** [00073]

**βα** [00021]
**βακτηρίαν** [00070]
**βαλεῖν** [00002] [00003] [00016] [00017] [00020] [00021] [00023] [00024] [00033] [00037] [00043] [00048] [00053] [00055] [00060] [00062] [00063] [00064] [00066] [00068]
**βασιλεὺς** [00071]
**βάτῳ** [00073]
**βεβαιῶσαι** [00073]
**βλαβοποιὰ** [00065]
**βλαστήματα** [00065]
**βοᾷ** [00028]
**βοήθειάν** [00030]
**βοήθειαν** [00033] [00047]
**βοηθείας** [00028]
**βοηθὸν** [00051]
**βοήσῃς** [00108]
**βούσαις** [00013]
**βοῶν** [00051]
**βραβεύοντος** [00057]
**βραβεῦσαι** [00049]
**βρῶμα** [00011]
**βρώματα** [00102]
**βρωμάτων** [00005]

**γαζοφυλάκιον** [00109]
**Γάλα** [00011]
**γάλα** [00007]
**γάλακτος** [00004]
**γαλακτοτρόφους** [00004]
**γαλήνης** [00036]
**γαληνιῶσαν** [00069]
**γὰρ** [00007] [00010] [00013] [00026] [00035] [00068] [00074] [00079] [00081] [00091] [00096] [00101] [00107]
**γάρ** [00015]
**γεγενημένη** [00034]
**γέγονεν** [00056]
**γέεννα** [00022]
**γέμει** [00091] [00098]
**γένος** [00053]
**γῆ** [00086]
**γῆν** [00002] [00016] [00020] [00021] [00023] [00062] [00063] [00064] [00064] [00066] [00068]
**γῆς** [00067]
**γινόμενον** [00075]
**γλυ** [00057]
**γόνασι** [00079]
**γου** [00007]
**γραφὴν** [00013]
**γράφων** [00010]
**γυ** [00028]

**δ** [00004]
**δαιμόνων** [00022] [00038]
**δάκρυσιν** [00079]
**δακτύλοις** [00096]
**δακτύλους** [00050]

**δὲ** [00005] [00014] [00047] [00054] [00057] [00073] [00073] [00078] [00089] [00091] [00092] [00093] [00097] [00098] [00100] [00102] [00102] [00102]
**δεδώκασι** [00051]
**δεδωκὼς** [00089]
**Δεῖ** [00065]
**δεῖ** [00068]
**δειλιᾶσαν** [00070]
**Δεινὸν** [00038]
**δέον** [00096]
**δεῦρο** [00019]
**δήπερ** [00063]
**Διὰ** [00040] [00056] [00064] [00066] [00100]
**διὰ** [00067]
**δια** [00019]
**διάβολος** [00027] [00063] [00068]
**διαβόλου** [00025] [00049] [00065] [00069]
**διαδέχεσθαι** [00096]
**διαλεχθῶμεν** [00019]
**διανοίας** [00007]
**διδαγμάτων** [00014]
**διδάσκαλοι** [00006]
**διδάσκαλον** [00075] [00088]
**διδάσκων** [00050] [00055]
**δικαιοῖ** [00110]
**δικαιοσύνης** [00027] [00049] [00071]
**Δίκασον** [00029]
**δίκην** [00005]
**Διὸ** [00028] [00104]
**διορθούμενον** [00077]
**διστόμῳ** [00039]
**διψῶντος** [00102]
**δόγμα** [00073]
**δοκιμάζει** [00112]
**δόλου** [00091]
**δόξα** [00120]
**δόξαν** [00045]
**δὸς** [00034]
**δότε** [00105] [00117] [00120]
**δροσίσατε** [00119]
**δύναμις** [00083]
**δυναστείαν** [00042]
**δυνατωτέραν** [00004]
**δύο** [00073] [00110]
**δυσδιάκριτα** [00007]
**δυσνόητα** [00007]
**δώσῃ** [00073]

**ἐὰν** [00093] [00101] [00102] [00103]
**ἑαυτῷ** [00071]
**ἑαυτῶν** [00095] [00096]
**ἐβαπτίσθη** [00072] [00074]
**ἐγύμνωσε** [00027]
**ἐγώ** [00032]
**ἐδεήθημεν** [00036]
**ἐδεόμεθα** [00057]
**ἐδικαιώθη** [00111]
**ἔδωκεν** [00089]
**ἐθαύμα** [00074]
**Ἐθαύμασεν** [00075]
**ἐθεάσατο** [00079]
**ἐθνῶν** [00045]
**ἐθώρηξας** [00049]
**Εἰ** [00079]
**εἰ** [00064]
**εἶ** [00082]
**Εἶδε** [00074]
**εἴδωλον** [00096]
**Εἴθε** [00059]
**εἰμι** [00032]
**εἶναι** [00082]
**εἰπεῖν** [00101]
**εἰπὸν** [00032]
**εἰρηκὼς** [00088]
**εἰρήνῃ** [00053]
**Εἰρήνην** [00036]
**εἰρήνην** [00003] [00017] [00021] [00024] [00033] [00034] [00037] [00043] [00047] [00048] [00049] [00053] [00055] [00057] [00060]
**εἰρήνης** [00034] [00045] [00061]
**εἰρηνο** [00055]
**εἰρηνοποιοὺς** [00054]
**εἰς** [00030] [00039] [00042] [00045] [00050] [00050] [00070] [00071] [00082] [00097] [00109] [00120]
**εἷς** [00049]
**εἰσελθὼν** [00072]
**Εἰσέρχεται** [00070]
**εἰσέρχεται** [00071] [00071]
**εἰσέτι** [00012]
**εἰσιν** [00006]
**Εἶτα** [00008]
**εἰώθασι** [00008]
**ἐκ** [00067] [00069]
**ἕκαστος** [00028]
**ἐκβαλεῖν** [00068]
**ἐκδεξόμεθα** [00061]
**ἐκδύσας** [00027]
**ἐκείνης** [00111]
**Ἐκκλη** [00006]
**ἐκκλίνω** [00045]
**ἐκλευκαίνει** [00114]
**ἐκλευκαίνειν** [00096]
**ἐκλύσας** [00069]
**ἔκρινε** [00088]
**ἐκσπογγίζουσιν** [00097]
**ἐκυρίευσε** [00022]
**ἔκχεον** [00031]
**ἐλ** [00033]
**ἔλεγε** [00010] [00081] [00099]
**ἔλεγεν** [00049] [00079]
**ἐλέγχων** [00059]
**ἐλεημοσύνη** [00114] [00115]
**Ἐλεημοσύνη** [00113]
**ἐλεημοσύνην** [00101] [00105]
**ἔλεον** [00119]
**ἐληλυθέναι** [00018]
**ἐλθὲ** [00042]
**ἐλθὼν** [00023] [00037] [00048] [00060]
**ἔλθωσιν** [00005]

**ἑλκύσωσι** [00097]
**ἐλπίδα** [00061]
**ἐμὴν** [00064]
**ἐμφάνηθι** [00042]
**ἐν** [00013] [00027] [00053] [00061] [00063] [00067] [00070] [00071] [00085] [00089] [00096] [00120]
**ἐναγῶν** [00022] [00038]
**ἐναντία** [00060]
**ἐναντίας** [00031]
**ἔνδοθεν** [00078] [00093] [00102] [00102]
**ἐνέκρωσεν** [00068]
**ἐνέσπειρεν** [00063]
**ἐννοήσας** [00088]
**ἐνοικίζουσι** [00005]
**ἐνόντα** [00105] [00106]
**ἐνράνω** [00065]
**ἐξ** [00031] [00067] [00082]
**ἐξανα** [00065]
**ἔξαψιν** [00068]
**ἐξέγειρον** [00042]
**ἐξεδεχόμεθα** [00022] [00047]
**ἐξέρχεται** [00046]
**ἕξεως** [00013]
**ἕξιν** [00007]
**ἐξυφαίνει** [00114]
**ἔξωθεν** [00091] [00098] [00102] [00102] [00103]
**ἐξώπλισε** [00038]
**ἐπαγγελία** [00044]
**ἐπαινῶν** [00075] [00076]
**Ἐπεὶ** [00068]
**Ἐπει** [00063]
**ἐπειδὰν** [00005]
**ἑπεσεν** [00079]
**ἐπὶ** [00002] [00007] [00016] [00018] [00020] [00021] [00023] [00042] [00053] [00062] [00063] [00064] [00066] [00068] [00090]
**ἐπιγεγενημένον** [00069]
**ἐπιθυμίαν** [00102]
**ἐπικλύζων** [00045]
**ἐπιλαβοῦ** [00030]
**ἐπιστρέφειν** [00090]
**ἐπιφέρει** [00104]
**ἐπιφερόμενος** [00070]
**ἔπλυνε** [00079]
**ἐποίει** [00009] [00073]
**ἐπότισα** [00011]
**ἐργάζονται** [00096]
**ἐρυθραίνουσαι** [00096]
**ἔσται** [00105]
**ἐστερεώθησαν** [00083]
**ἔσωθεν** [00091] [00098] [00102] [00103]
**ἔτι** [00027] [00073]
**ἑτοιμάσασαι** [00005]
**εὐαγγελικῶν** [00013]
**εὔδιον** [00069]
**Εὐλογητὸς** [00050]
**εὔλυτον** [00013]
**εὐχαριστῶν** [00049]
**ἔφασκεν** [00078]
**ἔχε** [00067]
**ἔχεις** [00108] [00109]
**ἔχῃ** [00093] [00101] [00102]
**ἔχθραν** [00057] [00060]
**ἐχθρὸς** [00056]
**ἔχον** [00102]
**ἔχωσι** [00068]

**ζωοπλάστην** [00077]
**ζωτικὴ** [00115]

**ἡ** [00034] [00034] [00044] [00044] [00046] [00046] [00083] [00086] [00087] [00120]
**ἣ** [00046]
**Ἢ** [00096]
**ἢ** [00093] [00103]
**ηγωνίσατο** [00022]
**ἤδη** [00064] [00071] [00071]
**ἠθελήσαμεν** [00036]
**ἦθος** [00072]
**ἦλθες** [00021] [00021]
**ἦλθον** [00002] [00003] [00016] [00017] [00020] [00023] [00024] [00033] [00037] [00043] [00048] [00053] [00055] [00060] [00062] [00063] [00064] [00066]
**ἡλικίαν** [00004] [00005]
**ἥλιος** [00071]
**ἡμᾶς** [00014] [00039] [00042]
**ἡμεῖς** [00019]
**ἡμέραις** [00013]
**ἡμῖν** [00013] [00022] [00025] [00026] [00034] [00035]
**ἡμῶν** [00012] [00014] [00022] [00022] [00022] [00027] [00028] [00033] [00034] [00038] [00056] [00056] [00057] [00058] [00059] [00120]
**ἦν** [00059] [00068] [00077]
**ἠπείληται** [00022]
**ἠρέμα** [00090]
**ἡττηθέντες** [00051]
**ηὔχετο** [00058]

**θαλάσσης** [00084]
**θανατηφόρον** [00093]
**θάνατος** [00022]
**θεῖον** [00067] [00068]
**θέλω** [00064]
**Θεὸν** [00067]
**Θεὸς** [00034] [00071] [00112]
**Θεοῦ** [00054]
**θέρμην** [00068]
**θεωρῶν** [00078]
**θηλὴν** [00007]
**θησαυρίζει** [00113]
**θησαυροῖς** [00085]
**θρέψει** [00102] [00103]
**θρέψῃ** [00103]
**θρωπον** [00071]
**θυρεοῦ** [00030]
**θῶν** [00033]
**θώρακα** [00027]

**ἰάματα** [00120]
**ἰάσηται** [00102]
**ἰδεῖν** [00077]
**ἰδίου** [00070]
**ἰδοὺ** [00105]
**Ἰδοὺ** [00045] [00046]
**Ἰησοῦ** [00096] [00120]
**ἱκεσία** [00034]
**ἱκετεύσαμεν** [00036]
**Ἱλάσθητί** [00080]
**ἱμάτια** [00120]
**ἵνα** [00019] [00065] [00068] [00069] [00070] [00071] [00073] [00096] [00097] [00120]
**ἰὸς** [00118]
**Ἰουδαϊκὸν** [00073]
**Ἰσραὴλ** [00042]
**ἰσχύομεν** [00025]
**Ἰωάννης** [00099]
**Ἰὼβ** [00058]
**Ἰωσὴφ** [00042]
**Ignem** [00001]
**In** [00001]

**καθ** [00038]
**καθάπερ** [00013] [00096]
**καθαρὰ** [00105]
**καθαρᾷ** [00065]
**καθαρίσαι** [00064]
**καθήμενος** [00042]
**καιρὸν** [00089]
**κἀκείνῃ** [00089]
**κακίζετε** [00092]
**καλὴ** [00115]
**καλλιφερὲς** [00068]
**καλλωπίζετε** [00092]
**καλοῦντες** [00051]
**καλύπτων** [00070]
**κάμινον** [00119]
**κἂν** [00101] [00103]
**καρδίᾳ** [00067]
**καρδίαις** [00063]
**καρδίας** [00078] [00096] [00097]
**κατ** [00022]
**καταβὰς** [00053]
**κατάβηθι** [00052]
**καταδιωκόντων** [00031]
**κατάληψιν** [00008]
**καταλῦσαι** [00073]
**καταστήσας** [00069]
**κατασφάξας** [00039]
**κατηγω** [00022]
**κατηκόντισε** [00039]
**κεῖαν** [00057]
**κεραμέα** [00077]
**κληθήσονται** [00054]
**κλίνας** [00053]
**κλῖνον** [00052]
**κολακεύουσιν** [00004]
**κόσμῳ** [00049]
**κράτος** [00120]
**κρινόμενον** [00077]
**κρίνῳ** [00096]
**κρίνων** [00076]
**κρυμῷ** [00068]
**κρυπτοῖς** [00078]
**Κύριε** [00021] [00029] [00034] [00052]
**Κύριον** [00018] [00019] [00103]
**Κύριος** [00012] [00046] [00050] [00056] [00089] [00090] [00104]
**Κυρίου** [00019] [00019]
**Κυρίῳ** [00120]

**λάβετε** [00116] [00117]
**λάβητε** [00120]
**λαλεῖν** [00073]
**λεαίνειν** [00005]
**λέγει** [00104] [00106]
**Λέγεις** [00043]
**λέγεις** [00023] [00033] [00037] [00048] [00053] [00055] [00060]
**λέγοντες** [00051]
**λέγουσα** [00044] [00046]
**λέγων** [00028] [00041] [00058]
**λεῖν** [00021]
**λεπτὰ** [00110]
**λό** [00007]
**λόγου** [00013]
**λόγῳ** [00083]
**λοιπὸν** [00005] [00061]
**λος** [00009]
**λούετε** [00100] [00100]
**λύοντος** [00057]
**λῦσαι** [00060]
**λῶσαι** [00065]

**μά** [00053]
**μαζῶν** [00004]
**μακαρίζεις** [00054]
**μάνδραν** [00070]
**μανίαν** [00097]
**ματα** [00007]
**ματι** [00005]
**μαχαίρα** [00018]
**μάχαιραν** [00003] [00017] [00021] [00024] [00033] [00036] [00037] [00043] [00048] [00055] [00060]
**μάχῃ** [00049]
**με** [00029] [00029] [00031] [00065] [00068]
**μείζονα** [00004] [00005] [00008]
**μειζόνων** [00008] [00014]
**μελλούσης** [00096]
**μεμιγμένον** [00096]
**μὲν** [00018] [00057] [00100]
**μέσῃ** [00067]

**μεσιτεῦσαι** [00060]
**μεσίτης** [00059]
**μεσίτου** [00057] [00058]
**μεταξὺ** [00057]
**μέτρον** [00013]
**μέχρι** [00004]
**μητέρες** [00004] [00005]
**μητέρων** [00007]
**μισθοὺς** [00113]
**μνήσθητι** [00111]
**μνὸς** [00028]
**μοι** [00080]
**μοιχῶν** [00113]
**μου** [00030] [00032] [00047] [00050] [00050]
**μοῦντάς** [00029]
**μυελοῦ** [00005]
**μυστη** [00008]

**ναὶ** [00062]
**ναι** [00049]
**νεύματι** [00007]
**νέων** [00097]
**νην** [00070]
**νηπιάζουσιν** [00007]
**νήπιοι** [00004] [00008] [00018]
**νηπίοις** [00010] [00013] [00019] [00019]
**νηπίων** [00004]
**νίσατο** [00022]
**νοή** [00007]
**νοημά** [00013]
**νοήματα** [00008]
**νοημάτων** [00008]
**νοήσαντες** [00019]
**νοῦν** [00014]
**Νῦν** [00097] [00098]
**νῦν** [00012] [00092]
**νυνὶ** [00014]
**νῶτα** [00051]

**ὁ** [00012] [00027] [00034] [00041] [00042] [00042] [00050] [00055] [00056] [00058] [00059] [00063] [00068] [00074] [00078] [00082] [00090] [00104] [00108] [00118]
**ὃ** [00109]
**Ὁ** [00042] [00089] [00099] [00112]
**ὁδηγῶν** [00042]
**ὀδοῦσι** [00005]
**οἱ** [00004] [00006] [00008] [00018] [00083] [00098]
**οἷδε** [00112]
**οἰκείοις** [00096]
**οἶκον** [00071]
**οἰκουμένη** [00087]
**οἶκτον** [00040]
**οἴονται** [00018]
**ὁμοίως** [00102]
**ὄντα** [00027]
**ὄντων** [00082]
**ὅπλοις** [00049]
**ὅπλον** [00026]
**ὅπλου** [00030]
**ὁπόταν** [00008]
**ὅσον** [00107]
**ὅταν** [00093]
**ὅτι** [00054] [00074] [00108] [00111]
**Οὐ** [00107]
**οὐ** [00007] [00011] [00070] [00070] [00074] [00100] [00102] [00103] [00112]
**οὐδὲν** [00088] [00101]
**Οὐκ** [00003] [00017] [00024] [00033] [00037] [00043] [00048] [00053] [00055] [00060]
**οὐκ** [00021] [00025] [00036] [00072] [00075] [00076] [00082] [00102] [00108]
**οὖν** [00055] [00068] [00070] [00090] [00108]
**οὐράνιον** [00065]
**οὐρανοὶ** [00083]
**οὐρανοὺς** [00052] [00053]
**οὔτε** [00088] [00088]
**οὗτοι** [00051]
**οὕτω** [00103]
**οὐχ** [00025] [00026] [00071] [00071] [00071]
**Οὐχὶ** [00094]
**οὐχὶ** [00096]
**ὀφθαλμοῖς** [00078]
**ὄψεις** [00095] [00096] [00097]

**πάλιν** [00070]
**Πάντα** [00035]
**πάντα** [00018] [00082] [00105]
**πάντας** [00018] [00039]
**παρ** [00025] [00089] [00089]
**παρὰ** [00022] [00040]
**παραγαγών** [00082]
**παραδείσῳ** [00027]
**παρακαλοῦ** [00007]
**παρατάξει** [00025]
**παράταξιν** [00050]
**παρέσχετο** [00013]
**πᾶς** [00041]
**πᾶσα** [00083] [00086]
**Πατέρων** [00046]
**πατὴρ** [00058]
**πατουμένην** [00062]
**πατριάρχας** [00049]
**Παῦ** [00009]
**πεινῶντα** [00102]
**πένης** [00108]
**πεπλυμμένος** [00103]
**πεπτωκότα** [00071]
**πεπτωκότι** [00071]
**περὶ** [00034] [00055] [00058]
**πηγὰς** [00004]
**πηλοῦ** [00077]
**πί** [00025]
**πικροφόρα** [00065]
**πινάκιον** [00102]
**πίνακος** [00091] [00098]

πίστεως [00026]
πλά [00070]
πλάνης [00090]
Πλάσας [00067]
πλάσματος [00077]
Πλὴν [00105] [00106]
πλυθὲν [00102] [00102]
πλύνετε [00091] [00098]
πλύνη [00101]
Πνεῦμα [00117]
πνεῦμα [00101]
πνευμα [00073]
πνεύματι [00083] [00096] [00100]
Πνεύματος [00068]
πόδας [00079]
ποιεῖ [00012]
ποιεῖν [00055]
ποιήσω [00069]
ποιμαίνων [00042]
ποιμένα [00070] [00073]
ποιμένος [00070]
πολέ [00047]
πολε [00029]
πολέμησον [00029]
πόλεμον [00036] [00046] [00049] [00050]
πολυχρύσους [00111]
πολυχρύσων [00107]
πονηρίας [00098]
πορθμεύσωμεν [00019]
πόρναι [00094]
ποσὶ [00062]
ποταμὸς [00045]
ποτήριον [00093] [00102]
ποτηρίου [00091] [00098]
πότον [00093]
ποτὸν [00102]
ποῦ [00034] [00044] [00046]
πραεῖ [00007]
προ [00073]
προΐσχουσαι [00004]
προαπέστειλας [00049]
πρόβατον [00042] [00070] [00090]
προέπεμψας [00049]
προλα [00013]
πρόῤῥησις [00046]
πρὸς [00004] [00005] [00008] [00013] [00019] [00028] [00033] [00034] [00041] [00049] [00051] [00067] [00067] [00071] [00071] [00073]
προσ [00079]
προσβάλλουσιν [00007]
προσκομιδῇ [00107]
προσφορᾷ [00107]
προσχαλάσαντες [00007]
πρόσχες [00042]
προτέραν [00070]
πρότερον [00005] [00074]
πρόφασιν [00089]
Προφήτας [00049]
προφητῶν [00022]
πταίσματα [00100]
πτοηθὲν [00070]
Πῦρ [00002] [00016] [00020] [00021] [00023]
πῦρ [00062] [00063] [00064] [00066] [00068]
πυρὶ [00018] [00065]
πυρὸς [00022] [00067] [00067] [00068]
Πῶς [00093]

ῥάβδον [00070]
ῥᾶν [00005]
ῥαντίζειν [00096]
ῥήματα [00019] [00019]
Ῥίψατε [00116]
ῥῖψον [00109]
ῥίων [00008]
ῥόδον [00096]
ῥομφαία [00039]
ῥομφαίαν [00031]

σαλεύεται [00087]
Σαμαρείτιδι [00089]
σβέσατε [00119]
σὲ [00028] [00034] [00041] [00051] [00051]
σε [00022]
σεαυτοῦ [00055]
σεν [00074]
Σεραφὶμ [00078]
σῇ [00044]
σθαι [00067]
σίας [00006]
σιν [00007]
σκληρὸν [00005]
σκοπήσας [00014]
σκορπίσατε [00118]
σοῦ [00040] [00086] [00087]
σου [00032] [00042] [00083]
σπίλους [00113]
σπινθῆρα [00067] [00068]
σπόρον [00065]
σταθμίζειν [00112]
στεως [00025]
στηθι [00030]
στό [00005]
στόματός [00083]
στρατηγία [00115]
στρατόπεδον [00022] [00038]
Σὺ [00082]
σὺ [00085]
σύγκλεισον [00031]
συγχλοάζεται [00071]
συγχωρεῖ [00014]
σύμπασα [00087]
συν [00071]
συνάγων [00084]
συναναπίπτει [00071]

**συνδιαιτᾶται** [00071]
**σύνδουλον** [00103]
**σύνδρομον** [00101]
**συνεγείρῃ** [00071]
**συνείδησιν** [00112]
**συνεξελεύσεται** [00118]
**συνεργὸν** [00101]
**συννέμεται** [00071]
**Συντριβέντος** [00047]
**συντρίψαντας** [00049]
**συντρίψασαι** [00005]
**συντρίψει** [00046]
**συσταθμησάμενος** [00013]
**σφάξαι** [00018]
**σῷ** [00083]
**σῶμα** [00092] [00100] [00101]
**σώματος** [00070]
**σῶσαι** [00042] [00053]
**σωτηρία** [00032]

**τὰ** [00005] [00018] [00019] [00019] [00056] [00060] [00065] [00082] [00100] [00105] [00105] [00106]
**ταῖς** [00013] [00018] [00063] [00069]
**ταξίαρχον** [00078]
**τὰς** [00004] [00050] [00068] [00092] [00095] [00095] [00096] [00096] [00096] [00097] [00097] [00114] [00114]
**ταύτην** [00068]
**τέρπεται** [00107]
**τέρψει** [00093]
**τες** [00051]
**τῇ** [00008] [00025] [00032] [00039] [00049] [00065] [00067] [00089] [00107] [00107]
**τὴν** [00002] [00004] [00005] [00007] [00007] [00013] [00013] [00016] [00020] [00021] [00023] [00030] [00042] [00057] [00060] [00061] [00062] [00062] [00063] [00063] [00064] [00064] [00066] [00068] [00068] [00068] [00069] [00070] [00070] [00071] [00090] [00101] [00102] [00119]
**τῆς** [00006] [00007] [00007] [00013] [00014] [00027] [00039] [00061] [00067] [00069] [00078] [00090] [00096] [00096] [00111] [00118]
**Τί** [00015] [00054] [00055]
**τί** [00055] [00100]
**τίας** [00039]
**τιθεῖς** [00085]
**τικόν** [00073]
**τίνι** [00061]
**τὸ** [00005] [00007] [00013] [00018] [00034] [00038] [00042] [00049] [00053] [00053] [00067] [00070] [00072] [00075] [00082] [00089] [00090] [00091] [00091] [00092] [00093] [00096] [00098] [00098] [00100] [00101] [00101] [00109] [00117] [00117] [00120]
**τοιαῦται** [00094]
**Τοιοῦτοί** [00006]
**Τοῖς** [00007]
**τοῖς** [00004] [00019] [00019] [00078] [00079] [00079] [00085] [00095]
**Τολμῶ** [00101]
**Τὸν** [00012]
**τὸν** [00014] [00018] [00019] [00027] [00027] [00042] [00042] [00049] [00065] [00067] [00068] [00069] [00070] [00071] [00071] [00073] [00075] [00077] [00077] [00078] [00088] [00102] [00103] [00103] [00119]
**τόσας** [00108]
**τοσοῦτον** [00107]
**τοῦ** [00004] [00005] [00007] [00013] [00019] [00019] [00025] [00047] [00049] [00057] [00058] [00065] [00068] [00068] [00069] [00070] [00070] [00071] [00077] [00077] [00083] [00089] [00089] [00091] [00091] [00098] [00098] [00102]
**τοὺς** [00018] [00029] [00029] [00050] [00054] [00079] [00111] [00120]
**Τουτέστιν** [00092]
**Τοῦτο** [00009] [00073] [00078]
**τοῦτο** [00040] [00064] [00066]
**τοῦτον** [00068] [00079]
**τούτων** [00088]
**τριβόλους** [00063]
**Τρόπαιον** [00025]
**τρόπον** [00007] [00012]
**τρόπους** [00073]
**τροφὴν** [00004] [00005] [00013]
**τρυφε** [00005]
**τρυφερὰ** [00005]
**τρυφερὰς** [00114]
**τυγχάνουσι** [00010]
**τῷ** [00005] [00027] [00049] [00070] [00071] [00071] [00073] [00080] [00083] [00083] [00096] [00096] [00096] [00100] [00120]
**τῶν** [00004] [00004] [00005] [00013] [00013] [00022] [00022] [00031] [00034] [00038] [00042] [00046] [00053] [00063] [00063] [00068] [00072] [00078] [00078] [00097] [00107] [00107] [00120]
**των** [00013]

**ὕδατα** [00084]
**ὕδατι** [00100]
**ὕδωρ** [00089] [00089]
**υἱοὶ** [00054]
**ὑμᾶς** [00011]
**ὑμεῖς** [00091] [00098]
**Ὑμεῖς** [00092]
**ὑμετέροις** [00062]
**ὑμῖν** [00105]
**ὑμῶν** [00098]
**ὑπάρχῃ** [00096]
**ὑπάρχων** [00028]
**ὑπὲρ** [00111]
**ὑπῆρχε** [00025] [00026]
**ὑπὸ** [00071] [00077] [00077]
**ὑφ** [00062]
**ὑφέλκειν** [00004] [00007]

**Φαρισαῖοι** [00091] [00098]
**Φαρισαῖος** [00074] [00078]
**Φαρισαίου** [00071]
**Φαρισαίων** [00072]
**φησι** [00015]
**φησὶν** [00074]
**φιλότεκνοι** [00004]
**φιλτάτοις** [00004]
**φλογὸς** [00096]
**φοβεῖται** [00086]
**φοίνικι** [00096]
**φρένα** [00069]
**φρεσὶν** [00018]
**φρονήσει** [00008]
**φρονήσεως** [00007] [00014]

**χαιραν** [00053]
**χαλκὸν** [00118]
**χαυνώσας** [00069]
**χειμάῤῥους** [00045]

**χειμῶνα** [00069]
**χειραγωγεῖν** [00090]
**χεῖράς** [00050]
**Χερουβὶμ** [00042]
**Χερουβίμ** [00078]
**χήρας** [00111]
**χλοηφορεῖν** [00069]
**χορηγία** [00115]
**χορὸς** [00041]
**χρήματα** [00112]
**Χριστόν** [00116]
**Χριστῷ** [00120]
**χρυσὸν** [00116]
**χρυσοῦ** [00108]
**χρυσοῦν** [00093]
**χρώμασιν** [00095]

**ψυχαῖς** [00069]
**ψυχὰς** [00068] [00092] [00095] [00096] [00114]
**ψυχῇ** [00032] [00065]
**ψυχῆς** [00096] [00115]
**ψυχῶν** [00115]

**Ὢ** [00115]
**ᾧ** [00120]
**ᾤκισα** [00067]
**ὡς** [00005] [00045] [00045] [00049] [00071] [00071] [00071] [00071] [00071]
**ὡσεὶ** [00042] [00084]
**ὥσπερ** [00089]
**Ὥσπερ** [00102]
**ὠφεληθήσεται** [00101]